eul_wid: qmm-de

*Γαληνὸς ὁ Περγαμηνός* · Galen of Pergamon

## On Medical Experience

*Περὶ τῆς ἰατρικῆς ἐμπειρίας*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα τεχνική* Atticizing Technical
**Domain:** *Ἰατρική* Medicine
**Format:** *Πραγματεία* Treatise

7 1 Πολλῶν γὰρ ἔτι δέονται οἱ ἐμπειρικοὶ πρὸς ὃ βούλονται, κἂν ταῦτ’ αὐτοῖς συγχωρήσωμεν. εἰ γὰρ μὴ ἴσα δείξαιμι τὰ λειπόμενα τοῖς εἰρημένοις ἀτόποις, οὐδὲν οὐδ’ ἐκείνων ὄφελος εἶναί μοι βούλομαι. σὺ μὲν οὖν εὖ οἶδ’ ὅτι τεθαύμακας οὐ μὰ Δία ἡμῶν, ἀλλὰ τῆς τῶν ἐμπειρικῶν εὐηθείας, εἰ τοσάδε καὶ ἐπὶ τοσοῖσδε συγχωρηθέντα λαβόντες οὐδὲν δή τι πλέον ἔχουσι, ἀλλ’ ἕτερα τῶν προτέρων αὐτοὺς οὐκ ἐλάττω διαδέχεται σφάλματα. παντελὴς γὰρ ἄγνοια καὶ ὑπερβάλλουσά τις ἀναίδεια καὶ σχεδὸν ὑπὲρ τὰ βοσκήματα ἡ ἀναισθησία, εἰ μήτε ἀπὸ τίνος ἄρξονται ἔχοντες μηδ’ εἰ τοῦτ’ αὐτοῖς τις δοίη πλειστάκις ὡσαύτως ἰδεῖν τι δυνάμενοι μηδὲ τοσαύτας μυριάδας τὰς ἐν τοῖς νοσοῦσιν ἑτερότητας ἰδεῖν ἢ μνημονεῦσαι ἢ ἀπογράψασθαι δυνατόν—ἢ τίς ἂν ἔτι βιβλιοθήκη τὴν τοσαύτην ἱστορίαν χωρήσειε, τίς δ’ ἂν ψυχὴ τὴν τοσούτων καταδέξαιτο μνήμην—ὅμως οὐδ’ οὕτως αἰσθάνονται ὅτι διαπαίζοντες αὐτοῖς ταῦτα συγχωροῦμεν, ἀλλ’ ὡς ἐπὶ βεβαίοις (corr. Schoene: βεβαίως cod.) ὑπάρχουσιν ἔτι φιλοτιμοῦνται περὶ τῶν ἑξῆς.

7 2 ἐγὼ τοίνυν οὐ δι’ ἐκείνους—περιττὸν γὰρ λίθοις διαλέγεσθαι—ἀλλ’ ἕνεκα τοῦ τελειῶσαι τὸν λόγον ἐναργῶς ἐπιδείξω ὅτι κἂν πλειστάκις ὡσαύτως ὁρᾶσθαί τι συγχωρηθῇ[ναι], οὐδὲν ἐκ τούτου θεώρημα τεχνικὸν συστήσονται. καὶ μή τις δόξῃ με τοῦ Πλάτωνος χρήσεσθαι λόγῳ, ὡς εἴ τις μὲν τῶν ἐπιτηδεύσεων τὴν φύσιν γιγνώσκει τῆς ὕλης, περὶ ἣν καταγίνεται, αὕτη μὲν τέχνη ἐστίν, εἰ δὲ μή, τριβὴ μέν τις καὶ ἐμπειρία, τέχνη δ’ οὔ. “ἐγὼ μὲν γάρ,” φησίν, “οὐ καλῶ τέχνην ὃ ἂν ᾖ ἄλογον πρᾶγμα.” οὐ χρῶμαι δ’ αὐτῷ οὐχ ὅτι οὐκ ἔστιν ἀληθής—μαινοίμην γὰρ ἂν εἰ τοῦτο λέγοιμι—ἀλλ’ ὅτι ἡ ἀναισχυντία τῶν ἐμπειρικῶν καὶ τοῦτο προσίεται, καὶ οὐδὲν αὐτοῖς μέλειν ἐροῦσιν, εἰ τούτου γε ἕνεκα μὴ τέχνην αὐτῶν τὸ ἐπιτήδευμα καλοῖμεν, ἀλλ’ ἄλλο τι.

7 3 τίνες οὖν εἰσιν οἱ ἐμοὶ λόγοι; πρῶτος μὲν οὗ (πρῶτον μὲν οὖν cod.: corr. Schoene) καὶ παρ’ αὐτῶν ἐκείνων συγκεχώρηται τὰ λήμματα. ἡ γὰρ τῶν πλειστάκις ὡσαύτως ἑωραμένων τήρησις καλεῖται μὲν οἶμαι παρ’ αὐτῶν ἐμπειρία· σύγκειται δ’ ἐκ πολλῶν τῶν καθάπαξ· ἄτεχνον δὲ τὸ καθάπαξ αὐτοί φασιν· εἴη 〈ἄρ’〉 ἂν τὸ πλειστάκις ἐκ πολλῶν ἀτέχνων συγκείμενον. καὶ ὧδ’ ἂν ὁ λόγος ἐρωτηθείη· εἰ τὸ καθάπαξ ἄτεχνον, τὸ δὲ πλειστάκις ἐκ πολλῶν τῶν καθάπαξ σύγκειται, ἄτεχνον τὸ πλειστάκις. ἀλλὰ μὴν τὸ καθάπαξ ἄτεχνον· καὶ τὸ πλειστάκις 〈ἄρα〉.

7 4

ἀλλ’ ἴσως οὐδ’ ὃ λέγομεν εἰδέναι φήσουσι. φεύγειν γὰρ ὁμολογήσουσι τά τε ἄλλα μαθήματα καὶ διαλεκτικήν. εἰ βούλει τοίνυν, τοῦτον μὲν ἡμῖν αὐτοῖς εἰρημένον τὸν λόγον ἐῶμεν, ἐκείνους δ’ ἐρωτήσωμεν ἕτερόν τινα τοιοῦτον.

7 5 ἆρά γε, ὦ ἐμπειρικοί, τὸ πλειστάκις ὁποσάκις ἐστίν, εἰπεῖν ἔχετε ἡμῖν; βουλόμεθα γὰρ δὴ καὶ αὐτοὶ γνῶναι παραπλησίως ὑμῖν διὰ τηρήσεως. ἵν’ οὖν μὴ ἀμετρίᾳ τοῦ δέοντος ἁμαρτάνωμεν ἢ πρὸ τῆς ἱκανῆς αὐτοῦ θέας ἥκειν ἐπὶ τὸ τέλος ἤδη νομίζοντες ἢ περαιτέρω τοῦ προσήκοντος ἐκτεινόμενοι 〈τὴν τήρησιν〉 ἀγνωσίᾳ τοῦ μέτρου, δεόμεθα ὑμῶν καὶ ἡμῖν δεῖξαι τὸ μέτρον, ἵνα καὶ αὐτοί τι μάθωμεν ἐκ τηρήσεως. “ὦ μωρέ” φησὶ γελάσας, “τὸ ἓν αἰτεῖς (τὸ ἐν αὐτοῖς ἓν MS.: corr. Deichgr.) ἓν οὐκ ἔστιν ἁπάντων μέτρον, ἀλλὰ καθ’ ἕκαστον ἄλλο. σὺ δ’ ὅμοιον ἐπύθου ὡς εἰ καὶ σκυτοτόμον τις ἀξιοῖ διδάξαι αὐτὸν τὸν καλάποδα τίς ποτέ ἐστιν ᾧ πάντας ὑποδεῖ. οὔτε γὰρ ἐκεῖ τῶν ποδῶν ἓν μέτρον· ἄνισοι γάρ· οὔτ’ ἐνθάδε τῶν πραγμάτων· διάφορα γάρ.

7 6 ” ἐγὼ δ’ ἀσμενίζω καὶ δέχομαι τὴν ἀπόκρισιν καὶ ἀγαπῶ πολὺ μᾶλλον ἢ εἰ ἓν ὑπέσχετό μοι πάντων ἐρεῖν. τότε μὲν γὰρ κἂν ὑπώπτευον, εἰ παρὰ πολὺ τῶν πραγμάτων διαφερόντων ἓν ἐπάξειν ἐπηγγέλλετο μέτρον, νυνὶ δὲ εἰ καθ’ ἕκαστον ἴδιόν τι δείξειέ μοι, πάνυ τεύξεσθαι τοῦ ἀληθοῦς ἤλπικα. καὶ δὴ οὖν ἀπὸ τῶν ἁπλουστέρων ἀρξάμενος πυνθάνομαι, ὁποσάκις ἂν εἴη μοι θεασαμένῳ τὸν μηνιγγότρωτον ἀκριβῶς εἰδέναι, πότερον διὰ παντὸς ἢ ὡς 〈ἐπὶ〉 τὸ πολὺ ἢ σπανίως ἢ ἀμφιδόξως τεθνήξεται, ἀλλ’ οὐδεὶς αὐτῶν τὸ μέτρον οὔτε νῦν ἡμῖν ἀπεκρίνατο οὔτε ἐν τοῖς βιβλίοις ἔγραψε.

7 7 μήποτ’ οὖν οὐδ’ ἔχουσί τι καθ’ ἕκαστον ὡρισμένον; ὅτι μὲν οὖν καὶ ἤδη αὐτῶν ἔρρει τὰ πράγματα, παντὶ δῆλον. ἀλλ’ ἐφεξῆς ἂν εἴη, καθάπερ ἀρχῆθεν αὐτοῖς διελέχθημεν προσεπαίσαμεν, εὐγνωμόνως ἔτι καὶ νῦν ἡμᾶς ἐπισκέψασθαι κατὰ μόνας, πότερον ἐκείνοις μὲν ἀγνοεῖται τὸ 〈τοῦ〉 πλειστάκις μέτρον, ἔστι δ’ ἐν τῇ φύσει τῶν πραγμάτων, ἢ οὐδ’ ὅλως συστῆναι δυνατὸν ὑπάρχειν τι μέτρον ἐπὶ τοῦ πλειστάκις, 〈ὃ δ〉ὴ αὐτὸ ποιήσει πρότερον οὐκ ὂν τεχνικὸν νυνὶ τεχνικὸν εἶναι.

7 8 ἐγὼ μὲν οὖν ἐπεσκεψάμην αὐτὸ πολλάκις. ἢ οὐκ ἂν αὐτοσχεδίως ... τὸν ζʹ ἔτι θεάσασθαι περιμενεῖς καὶ τὸν ηʹ καὶ ὅλως πάνυ πολλοὺς ἐφεξῆς.

15 5 (12) τί ποτ’ οὖν ἔτι συκοφαντήσεις καὶ ἀσύστατον ἐρεῖς τὴν ἐμπειρίαν καὶ τὸ πλειστάκις ἀπεριόριστον καὶ ὕποπτον ἀποφανεῖς οἶ[ς] στήσεται, λέγων οὐχ εὑρίσκειν οἴει τε μᾶλλον ἡμᾶς ἢ σαυτὸν καταβάλλειν; ἐμοὶ μὲν γὰρ δοκεῖ σαυτὸν μᾶλλον.

15 6 ὄντοιν γὰρ δυοῖν, ἑνὸς μὲν τοῦ διὰ μόνης εὑρίσκεσθαί τι τηρήσεως—ὅπερ ἐγώ τε βούλομαι καὶ ὑμεῖς ἄκοντες μὲν καθομολογεῖτε ἀλλ’ ὅμως—, δευτέρου δὲ τοῦ πῶς—ὃ ἐγὼ μὲν οὔτε δυνατὸν οὔτε χρήσιμον εἶναί φημι, σὸν δὲ λοιπὸν εἴη ἂν ἔργον τοῦτο εὑρεῖν, ἄπορον αὐτὸ ἀποφαίνων τῷ σοφίσματι σαυτὸν 〈μὲν〉 καταβαλεῖς, ἡμᾶς δὲ οὐδὲν ἀδικήσεις. οὐ γὰρ περὶ τοῦ πῶς ἕκαστον γίνεται τεχνικὸν ὁ ἀγὼν ἡμῖν ἐστιν, ἀλλ’ ὅτι γίνεται μόνον, ὅπερ ἐναργῶς ἔχομεν ὁμολογούμενον. σὺ δὲ ὁ τὰς αἰτίας πολυπραγμονῶν δίκαιος εἶ καὶ τὸ πῶς ἐκδιδάσκειν. ἀλλ’ ἔοικας ἔμπαλιν τοῦ δέοντος ἰέναι καὶ ὅμοιόν τι ποιεῖν τοῖς ἐπεὶ μὴ γινώσκουσι ὅπως ὁρῶσιν μηδ’ ὁρᾶν ὁμολογοῦσιν ἢ ἐπειδὴ τίνα τρόπον γίνεται τὰ γινόμενα καὶ φθείρεται τὰ φθειρόμενα καὶ τὰ κινούμενα [μή] κινεῖται μὴ γινώσκουσι οὔτε γένεσιν οὔτε φθορὰν οὔτε κίνησιν ἀπολείπουσιν.

15 8 ἀλλ’ ὅτι ἡ μεγίστη παντὸς λόγου διαβολὴ ἡ πρὸς τὸ ἐναργές ἐστι μάχη, τίς οὐκ οἶδεν; ὃς γὰρ οὐδ’ ἄρξασθαι δύναται τῆς ἐναργείας χωρίς, πῶς ἂν οὗτος πιστὸς εἴη, παρ’ ἧς ἔλαβε τὰς ἀρχάς, κατὰ ταύτης θρασυνόμενος; τοῦτο καὶ Δημόκριτος εἰδὼς ὁπότε τὰ φαινόμενα διέβαλε “νόμῳ χροιή, νόμῳ γλυκύ, νόμῳ πικρόν” εἰπὼν “ἐτεῇ δ’ ἄτομα καὶ κενόν” ἐποίησε τὰς αἰσθήσεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λεγούσας πρὸς τὴν διάνοιαν οὕτως· “τάλαινα φρήν, παρ’ ἡμέων λαβοῦσα τὰς πίστεις ἡμέας καταβάλλεις; πτῶμά τοι τὸ κατάβλημα”. δέον οὖν καταγνῶναι τοῦ λόγου τῆς ἀπιστίας, ὃς οὕτως ἐστὶν μοχθηρός, ὥσθ’ ὁ πιθανώτατος αὐτοῦ μάχεται τοῖς φαινομένοις, ἀφ’ ὧν ἤρξατο, τὸ ἐναντίον ἐργάζεσθε τῶν ὡς γίγνεται οὐκ ἐχόντων λόγον, ὡς ὁ λόγος δὲ βούλεται μὴ γιγνομένων κατεγνωκότες· ἐμοὶ δ’ αὐτὸ τοῦτο ἔλεγχος εἶναι δοκεῖ μέγιστος τοῦ λόγου· τίς γὰρ ἂν ἔτι νοῦν ἔχων πιστεύσειεν αὐτῷ περὶ τῶν ἀδήλων, ὃς οὕτως ἐστὶ μοχθηρὸς ὥστε τοῖς ἐναργέσιν ἐναντία τίθεσθαι; [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org